# Θράκη.

Πλουτ. Κίμων
Κεφ. 478.

VII. Κίμων δέ, των συμμάχων ήδη προσκεχωρηκότων αυτώ, στρατηγός εις <u>Θράκην</u> έπλευσε πυνθανόμενος Περσών άνδρας ενδόξους και συγγενείς βασιλέως Ηιόνα πόλιν παρά τω Στρυμόνι κειμένην κατέχοντας ενοχλείν τοις περί τον τόπον εκείνον Έλλησι. Πρώτον μεν ουν αυτούς μάχη τους Πέρσας ενίκησε και κατέκλεισεν εις την πόλιν· έπειτα τους υπέρ Στρυμόνα <u>Θράκας</u> όθεν αυτοίς εφοίτα σίτος, <u>αναστάτους</u> ποιών και την χώραν παραφυλάττων άπασαν εις τοσαύτην απορίαν τους πολιορκουμένους κατέστησεν, ώστε Βούτην τον βασιλέως στρατηγόν απογνόντα τα πράγματα τη πόλει πυρ ενείναι και συνδιαφθείραι μετά των φίλων και των χρημάτων εαυτόν. Ούτω δε λαβών την πόλιν άλλο μεν ουδέν αξιόλογον ωφελήθη, των πλείστων τοις βαρβάροις συγκαταφλεγέντων, την δε χώραν ευφυεστάτην ούσαν και καλλίστην οικήσαι παραδούς τοις Αθηναίοις. Και τους Ερμάς αυτώ τους λιθίνους ο δήμος αναθείναι συνεχώρησεν, ων επιγέγραπται τω μεν πρώτω·

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# Θρᾴκη.

Ἦν ἄρα κἀκεῖνοι ταλακάρδιοι, οἵ ποτε Μήδων
παισὶν ἐπ' Ἠιόνι Στρυμόνος ἀμφὶ ῥοάς
λιμόν τ' αἴθωνα κρυερόν τ' ἐπάγοντες Ἄρηα
πρῶτοι δυσμενέων εὗρον ἀμηχανίην.

Σελ. 487 XIV Ἐπεὶ δὲ τῶν Περσῶν τινες οὐκ ἐβούλοντο τὴν Χερρόνησον ἐκλιπεῖν, ἀλλὰ καὶ τοὺς Θρᾷκας ἄνωθεν ἐπεκαλοῦντο καταφρονοῦντες τοῦ Κίμωνος μετ' ὀλίγων παντάπασι τριήρων Ἀθήνηθεν ἐκπεπλευκότος, ὁρμήσας ἐπ' αὐτοὺς τέσσαρσι καὶ ναυσὶ τρισκαίδεκα τὰς ἐκείνων ἔλαβεν, ἐξελάσας δὲ τοὺς Πέρσας καὶ κρατήσας τῶν Θρᾳκῶν πᾶσαν ᾠκειώσατο τῇ πόλει τὴν Χερρόνησον.

# Θρᾶτται

Κωμῳδία τοῦ Κρατίνου.

«

XIII « Διὸ γ' πάλιν Κρατῖνος ἐν Θράτταις παίζει πρὸς αὐτόν· (Περικλέα) — Πλουτ. Περι-κλῆς Σ. 313

ὁ σχινοκέφαλος Ζεὺς ὁδὶ προσέρχεται
Περικλέης τᾠδεῖον ἐπὶ τοῦ κρανίου
ἔχων, ἐπειδὴ τοὔστρακον παροίχεται.

# Θρᾷκες.

Κατὰ τὴν ὑπὸ τοῦ Ἀλκιβιάδου πολιορκίαν τῆς Σηλυμβρίας

« 8. Ἐν ᾧ δὲ συμβάντες ἀλλήλοις (οἱ Σηλυμβριανοί;) ἐδίδοσαν λόγον, εἰσῆλθεν ἡ στρατιὰ τοῦ Ἀλκιβιάδου, καὶ τεκμαιρόμενος, ὅπερ ἦν, εἰρηνικὰ φρονεῖν τοὺς Σηλυμβριανούς, ἔδεισε μὴ τὴν πόλιν οἱ Θρᾷκες διαρπάσωσιν. Ἦσαν δὲ πολλοί, χάριτι τοῦ Ἀλκιβιάδου καὶ δι' εὔνοιαν στρατευόμενοι προθύμως. Ἀπέπεμψεν οὖν τούτους ἅπαντας ἐκ τῆς πόλεως, τοὺς δὲ Σηλυμβριανοὺς δεηθέντας οὐδὲν ἠδίκησεν. – »

Πλούταρχος Ἀλκιβιάδης XXX σ. 408

# Θρᾶκες ἐν Βιθυνίᾳ

## Κατὰ τὸν Πελοποννησιακὸν πόλεμον

Ἐν δὲ Βιθυνίᾳ πάλιν τὰ ὀλίγα τῶν ἰδίων ἀπολέσας (ὁ Ἀλκιβιάδης) καὶ περικοπεὶς ὑπὸ τῶν ἐκεῖ Θρᾳκῶν ἔγνω μὲν ἀναβαίνειν πρὸς Ἀρταξέρξην, ἑαυτὸν δὲ μὴ χείρονα Θεμιστοκλέους πειρωμένῳ βασιλεῖ φανεῖσθαι νομίζων, καὶ κρείττονα τὴν πρόφασιν. »

Πλούταρχ. Ἀλκιβιάδης XXXVII § 116

Θρᾶκες ακοντισται, τοξοται.

Κατα τον Πελοποννησιακον πόλεμον

«Ταῦτα δε λέγοντος τ. Αλκιβιάδου κ. παραινοῦντος ες Σηστον μεθορμίσαι τον στόλον ου προσεῖχον οι στρατηγοί . . . . . . . . . Πλουτάρχου Αλκιβιάδης 415. XXXVII

. . . . ἔδοξε δε τοις μεν αγανακτῆσαι, τοις δ' επιδεῖξαι λέγειν, ει Θρᾷκας εκ γης επαγαγειν πολλους ακοντιστας και τοξότας προσμάχεσθαι και σπαραττειν το στρατόπεδον αυτων.»

Θράκες. μεθυστικοί (;)



« .. Αλκιβιάδης δε δια χρηστών ιών η πονηρών ομοίως ουδέν ην αμίμητον ουδ' ανεπιτήδευτον αλλ' εν Σπάρτη γυμναστικός, ευτελής, σκυθρωπός, [εν Θετταλοίς] ιππαστικός. εν Θράκη μεθυστικός, Τισσαφέρνη δε τω σατράπη συνών υπερέβαλεν όγκω η πολυτελεία την Περσικήν μεγαλοπρέπειαν..

Πλούταρχος
Αλκιβιάδης
203 σ. 398

# Θράκη.

Πλουτ. Νικίας
XXXVIII

3. Πολλῶν μὲν ἄλλων προσκρουσμάτων τῇ πόλει καὶ μεγάλων γενομένων οὐδενὸς ἁψάμενος ἐκεῖνος μετέσχεν, ἀλλὰ περὶ Θράκην μὲν ἡττήθησαν ὑπὸ Χαλκιδέων Καλλιάδης τε καὶ Ξενοφῶν στρατηγοῦντες, τὸ δ' Αἰτωλικὸν πταῖσμα συνέβη Δημοσθένους ἄρχοντος. . . . .

. . . . . 4. Νικίας δὲ ἄλλων αἰτίαν ἀναίτιος ἔμεινε, καὶ στρατηγῶν εἷλε μὲν Κύθηρα, νῆσον ἐπικειμένην τῇ Λακωνικῇ καὶ Λακεδαιμονίους ἔχουσαν οἰκήτορας, ἔλαβε δὲ καὶ πολλὰ τῶν ἐπὶ Θράκης ἀφεστώτων καὶ προσηγάγετο. . . .

# Θράκη.

4. . . . ὁ δ' ἐξ ἁπάντων ἀγαθοὺς ἀσφαλῶς ἄν γ' ἐποίει. Πλάτ. Κράτυλ.
αν, ἢ δέοιτο Ἀλκιβιάδην μὲν ἐπὶ [illegible] ἢ Νικίαν σύμ-
δε πέμψαι Λακεδαιμονίοις, Περδίκκαν δ' ἐν Θρᾴκῃ κρατοῦ-
ντα, ἄλλην ἀρχὴν κατοικεσίαν ἡ ... ἔχει σχολὴν καὶ τέ-
σσ γενόμενον καθίστασθαι [illegible] ἀπαράλλακτος
σκαιὸς γέρων, ὡς εἴποι σοφισταὶ λέγουσιν. . . .

# Θράκη

XVI. Ὁ δὲ Λύσανδρος ἀπὸ Θήβων γενόμενος (μετὰ τὴν ἅλωσιν Ἀθηνῶν) αὐτὸς μὲν ἐπὶ Θράκης ἐξέπλευσε. Πλουτ. Λύσανδρος σελ. 399

XX. Ὁ δὲ Λύσανδρος ἐλθούσης τῆς σκυτάλης πρὸς αὐτὸν εἰς τὸν Ἑλλήσποντον διαταραχθεὶς μάλιστα τὰς τοῦ Φαρναβάζου κατηγορίας . . . . . . . . . σελ. 404

25 Ἔνιοι . . τὴν ἀληθινὴν βάσιν αὐτοῦ (Λυσάνδρου) πολιορκοῦντι τὴν τῶν Ἀφυταίων πόλιν ἐν Θράκῃ κατὰ τοὺς ὕπνους παραστῆναι τὸν Ἄμμωνα· διὸ τὴν πολιορκίαν ἀφείς, ὡς τοῦ θεοῦ προστάξαντος, ἐκέλευσε τοὺς Ἀφυταίους Ἄμμωνι θύειν, καὶ τὸν θεὸν ἐσπούδασεν εἰς τὴν Λιβύην πορευθεὶς ἐξιλάσασθαι.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Θράκη.

15. . . . αναζευγνύων (Αγησίλαος) έφη μυρίοις το- Τοξ. Αγησί- ξόταις υπό βασιλέως εξελαύνεσθαι της Ασίας· τοσού- λαος. των γαρ εφ' Αθήνας και Θήβας κομισθέντων και δια- XLIV. δοθέντων (νομισμάτων) τοις δημαγωγοίς εξεπολεμώθησαν οι δήμοι προς τους Σπαρτιάτας

16 Ως δε διαβάς τον Ελλήσποντον εβάδιζε διά της Θράκης, εδεήθη μεν ουδενός των βαρβάρων, πέμπων δε προς έκαστον επυνθάνετο πότερον ως φιλίαν ή ως πολεμίαν διαπορεύηται την χώραν. οι μεν ουν άλλοι πάντες φιλικώς εδέχοντο και παρέπεμπον, ως έκαστος δυνάμεως είχεν· οι δε καλούμενοι Τραλλείς, οις και Ξέρξης έδωκεν ως λέγεται δώρα, της διόδου μισθόν ήτουν τον Αγησίλαον εκατόν αργυρίου τάλαντα και τοσαύτας γυναίκας. ο δε κατειρωνευσάμενος αυτούς και φήσας «τί ουν ουκ ήλθον ευθύς ληψόμενοι;» προήγε και συμβαλών αυτοίς παρατεταγμένοις ετρέψατο και διέφθειρε πολλούς.

# Θρᾷκες

12. εν δε τοις πολλοις πάθεσι κ χαλεποις εκείνοις ά την πόλιν (Θήβας) κατέσχε, Θρᾷκες τινες εκκόψαντες οικίαν Τιμοκλείας γυναικος ενδόξου κ σώφρονος αυτοι μεν τα χρήματα διήρπαζον, ο δ' ηγεμων τη γυναικι προς βίαν συγγενόμενος κ καταισχύνας ανέκρινεν εί που χρυσίον έχοι κεκρυμμένα ή αργύριον. ή δ' έχειν ωμολόγησε, κ μόνον εκείνον εις τον κήπον αγαγούσα κ δείξασα φρέαρ, ενταύθα έφη της πόλεως αλισκομένης καταβαλειν αυτή τα τιμιώτατα των κειμηλίων, εγκύψαντος δε του Θρᾳκος κ κατασκεπτομένου τον τόπον, όπισθεν αυτη γενομένη ώσεν, κ των λίθων επιβάλλουσα πολλους απέκτεινεν, ως δ' ανήχθη προς Αλέξανδρον υπο των Θρᾳκων δεδεμένη πρώτον μεν από της όψεως κ της βαδίσεως εφαίνετο τις αξιωματική κ μεγαλόφρων, ανεκπλήκτως κ αδεώς επομένη τοις άγουσιν· έπειτα του βασιλέως ερωτήσαντος ήτις είη γυναικών, απεκρίνατο Θεαγένους αδελφή γεγονέναι του παραταξαμένου προς Φίλιππον υπερ της των Ελλήνων ελευθερίας κ πεσόντος εν Χαιρωνεία στρατηγούντος. θαυμάσας ουν ο Αλέξανδρος αυτής την

Πλουτ. Αλέξανδρος XLVII.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

θρᾳιες

ασόμριστον γ θην υρᾶξιν, εκέγωσει εγεωθέραι
αστῖναι ςεστα θην ξέυειν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

IX Ἐν τούτῳ δὲ Μιθριδάτης ἐπεβούλευε Κυζικηνοῖς πεπληγόσι τὴν περὶ Χαλκηδόνα μάχην . . . Πλουτ. Λούκουλλος
. . . . Βουλόμενος δὲ λαθεῖν τὸν Λούκουλλον εὐθὺς Σελ 506.
ἀπὸ δείπνου νύκτα δνοφερὰν καὶ νοτερὰν ἔχων ἐκίνησε καὶ φθάνει τῆς πόλεως ἀντικρὺ ἅμ' ἡμέρᾳ περὶ τὸ τῆς Ἀδραστείας ὄρος ἱδρύσας τὴν δύναμιν. Ὁ δὲ Λούκουλλος αἰσθόμενος καὶ διώξας ἠγάπησε μὲν οὐ συμπεσὼν ἀσύντακτος ἐν τῷ σκότει, καθίσας δὲ τὸν στρατὸν περὶ τὴν Θρᾳκίαν καλουμένην κώμην ἐν τόπῳ κατὰ τῶν ὁδῶν ἄριστα πεφυκότι καὶ τῶν χωρίων, ἀφ' ὧν καὶ δι' ὧν ἀναγκαῖον ἦν τοῖς Μιθριδατικοῖς τὰ ἐπιτήδεια φοιτᾶν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# Θράκη

Βιβλ. Σελ.

XI. Αὐτὸς μὲν (Μιθριδάτης) Ἀσίαν δὲ Ῥωμαίων καὶ Λαι
Βιθυνίαν καὶ Καππαδοκίαν τῶν βασιλέων ἀφῃρημέ- Σελ. 401
νας ἐν Περγάμῳ καθῆστο . . . . . . . .
Ἀριαράθης δὲ Θράκην καὶ Μακεδονίαν ἐπῄει στρα-
τῷ μεγάλῳ προσαγόμενος . . . .

XV. Ἐν δὲ τούτῳ Ταξίλης ὁ Μιθριδάτου στρατηγὸς ἐκ Σελ. 406
Θράκης καὶ Μακεδονίας καταβεβηκὼς σὺν μυρι-
άσι πεζῶν καὶ μυρίοις ἱππεῦσι καὶ τεθρίπποις ἐνενή-
κοντα δρεπανηφόροις ἐκάλει τὸν Ἀρχέλαον ἔτι ναυ-
λοχοῦντα περὶ τὴν Μουνυχίαν . . . .

# Θράκη

XII. Ταῦτα δὴ ὅτι Ἕλληνας νοῆσει· ἡ τὰ δὲν ἔργον ἐ- Πορφ. Τίλος
μελλόντα τοῖς κηρύγμασιν. Ἅμα γὰρ ἐξόντων ὁ ἕως 220
Τίλος Λέσβον καὶ ἐς Ἀσίαν Βαρβαρίδας ἐγκαθι-
ρώσαντα, Τίβιλλιαν δὲ εἰς Θράκην τὰς αὐτόθι ποῖ.
Ἀλλ' ἡ νῆσος ἀπαλλάξαντα τὸν Φιλίππου ῥεῦμα.

# Θράκη

LXI. . . . . . Βασιλεῖ δὲ ἐπίκουροι συνεμάχουν (τῷ Ἀθηνίωνι) Βάκχος ὁ Λιβύων . . . . . τῆς Καππαδοκίας μὲν Ἀρχέλαος, Παφλαγονίας δὲ Πυλαιμένης, Κομμαγηνῆς δὲ Μιθριδάτης, Σαδάλας δὲ ἐν Θράκῃ. οὗτοι μὲν αὐτοὶ παρῆσαν. . . . . — Πολ. Ἀθηνίωνος Σελ. 401

LXIII. . . . . . . . Ἔσχε δὲ ἡ Καινίδια τὰν. ἀρχόντα δὲ τῆς Κυναβείης γνώμης ὥσπερ ταῦτα: ἡ συνεθήκεως (τῷ Ἀθηνίωνι) Νεγεσδάλραν μὲν ἀποστήσειν, ἀναχωρήσαντα δὲ ἐς Θράκην ἢ Μακεδονίαν συμμαχίᾳ ἀρθῆναι. καὶ γὰρ Δικαίνης ὁ Γετῶν βασιλεὺς ὑπέσχετο πολλῇ στρατιᾷ βοηθήσειν. — Σελ. 403.

Θράκη

XXXIX . . . . . ἐν πολέμῳ δὲ ὕστερον ἁλίσκεται Πολ. Δημή-
Λυσίμαχος ὑπὸ Δρομιχαίτου· ὥρμα τότε Δημήτριος
ὑπηρίς κατὰ τάχος ἐξορμήσαντος ἐς Θράκην. π.Χ. 291.
ὕστερο ἔρημα καθαιρημένος, πάλιν ἀπέστησαν
οἱ Βοιωτοί, ὁ Λυσίμαχος ἅμα ἀφεῖναι ἀπηγγέλ-
λετο. Ταχέως δὲ ὁ ὥρμα ἐφ' ἣν ἀναστρέψας οὐδα-
μόθεν ἕτερον νενικημένοι ὑπὸ δὲ παιδός Ἀντι-
γόνου μάχη ταῖς Βοιωτοῖς, ὁ ταῖς Θήβαις αὖθις
ἀπολιορκεῖ.

XLIV. Ἀρχιδάμου δὲ ἐσχάτου ἀνακρίσεως ἐς τὴν π.Χ. 295
Ἀσίαν, ὅσοι μετ' Ἀλέξανδρον ὑπὸ τὴν ἄρχε πρό-
τερον, οἱ ἄλλοι συνέστησαν ἐς τὸν Δημήτριον, Σέ-
λευκον, Πτολεμαῖον, Λυσίμαχον . . . . . . .
ἅμα γὰρ τὴν μὲν Ἑλλάδα ἀπεῖπεν τέλος κα-
τέχειν Πτολεμαίου ἀρχῇ, Μακεδονίαν δὲ Λυσί-
μαχος ἐν Θράκῃ, ἐκ δὲ τῆς ἀνόδου Πύρρος
ἐκβαλόντες ἐκτελοῦν.